ἡ ΓΔ ἄρα δύο μέσα δυναμένη ἐστίν :-

ολ Ῥητοῦ καὶ μέσου συντιθεμένου. τέσσαρες ἄλογοι γίνονται.
ἤτοι ἐκ δύο ὀνομάτων. ἢ ἐκ δύο μέσων πρώτη. ἢ μεί-
ζων. ἢ ῥητὸν καὶ μέσον δυναμένη. ἔστω ῥητὸν μὲν
τὸ ΑΒ. μέσον δὲ τὸ ΓΔ. λέγω ὅτι ἡ τὸ ΑΔ χωρίον δυ-
ναμένη. ἤτοι ἐκ δύο ὀνομάτων ἐστίν. ἢ ἐκ δύο μέσων
πρώτη. ἢ μείζων. ἢ ῥητὸν καὶ μέσον δυναμένη. τὸ
γὰρ ΑΒ τοῦ ΓΔ. ἤτοι μεῖζόν ἐστιν ἢ ἔλασσον. ἔστω
πρότερον μεῖζον καὶ ἐκκείσθω ῥητὴ ἡ ΕΖ. καὶ παρα-
βεβλήσθω παρὰ τὴν ΕΖ τῷ ΑΒ ἴσον τὸ ΕΗ πλά-
τος ποιοῦν τὴν ΕΘ. τῷ δὲ ΔΓ ἴσον παρὰ τὴν ΕΖ
τουτέστι τὴν ΘΗ παραβεβλήσθω τὸ ΘΙ πλάτος
ποιοῦν τὴν ΘΚ. καὶ ἐπεὶ ῥητόν ἐστι τὸ ΑΒ καὶ ἐστιν ἴσον
τῷ ΕΗ. ῥητὸν ἄρα καὶ τὸ ΕΗ. καὶ παρὰ ῥητὴν τὴν
δ τ κ τ ι ΕΖ παραβέβληται πλάτος ποιοῦν τὴν ΕΘ. ῥητὴ
ἄρα ἐστὶν ἡ ΕΘ καὶ σύμμετρος τῇ ΕΖ μήκει. πάλιν ἐπεὶ
μέσον ἐστὶ τὸ ΓΔ, καὶ ἐστιν ἴσον τῷ ΘΙ. μέσον ἄρα ἐστὶ καὶ
τὸ ΘΙ καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται τουτέστι
δ τ κβ τ ι τὴν ΘΗ πλάτος ποιοῦν τὴν ΘΚ. ῥητὴ ἄρα ἐστὶν ἡ
ΘΚ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ μέσον ἐστὶ τὸ
ΓΔ. ῥητὸν δὲ τὸ ΑΒ. ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΒ τῷ
ΓΔ. ὥστε καὶ τὸ ΕΗ ἀσύμμετρόν ἐστι τῷ ΘΙ. ὡς δὲ
τὸ ΕΗ πρὸς τὸ ΘΙ. οὕτως ἐστὶν ἡ ΕΘ πρὸς τὴν ΘΚ. ἀ-
σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΕΘ τῇ ΘΚ μήκει. καὶ εἰσὶν
ἀμφότεραι ῥηταί. αἱ ΕΘ ΘΚ ἄρα ῥηταί εἰσι δυνά-
μει μόνον σύμμετροι. ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΚ

εἰς τὸ οα

[illegible]

[illegible]

διῃρημένη κατὰ τὸ Θ. καὶ ἐπεὶ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ ΓΔ. ἴ-
σον δὲ τὸ μὲν ΑΒ τῷ ΕΗ. τὸ δὲ ΓΔ τῷ ΘΙ. μεῖζον ἄρα
καὶ τὸ ΕΗ τοῦ ΘΙ. καὶ ἡ ΕΘ ἄρα μείζων ἐστὶ τῆς ΘΚ. ἤτοι
οὖν ἡ ΕΘ τῆς ΘΚ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου
ἑαυτῇ μήκει ἢ τῷ ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότε-
ρον τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ ἐστι μείζων ἡ ΘΕ σύμ-
μετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ. ἡ ἄρα ΕΚ ἐκ
δύο ὀνομάτων ἐστὶ πρώτη. ῥητὴ δὲ ἡ ΕΖ. ἐὰν δὲ δ τ νδ
χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνο-
μάτων πρώτης. ἡ τὸ χωρίον δυναμένη ἐκ δύο ὀνο-
μάτων ἐστίν. ἡ ἄρα τὸ ΕΙ δυναμένη ἐκ δύο ὀνο-
μάτων ἐστίν. ὥστε καὶ ἡ τὸ ΑΔ δυναμένη ἐκ δύο ὀνο-
μάτων ἐστίν. ἀλλὰ δὴ δυνάσθω ἡ ΕΘ τῆς ΘΚ μεῖζον
τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καὶ ἐστι μείζων ἡ ΕΘ σύμ-
μετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΕΖ μήκει. ἡ ἄ-
ρα ΕΚ ἐκ δύο ὀνομάτων ἐστὶ τετάρτη. ῥητὴ δὲ
ἡ ΕΖ. ἐὰν δὲ χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ δ τ νζ
τῆς ἐκ δύο ὀνομάτων τετάρτης. ἡ τὸ χωρίον δυ-
ναμένη ἄλογός ἐστιν ἡ καλουμένη μείζων. ἡ ἄρα
τὸ ΕΙ χωρίον δυναμένη μείζων ἐστίν. ὥστε καὶ ἡ τὸ
ΑΔ δυναμένη μείζων ἐστίν. ἀλλὰ δὴ ἔστω ἔλασσον
τὸ ΑΒ τοῦ ΓΔ. καὶ τὸ ΕΗ ἄρα ἔλασσόν ἐστι τοῦ ΘΙ. ὥ-
στε καὶ ἡ ΕΘ ἐλάσσων ἐστὶ τῆς ΘΚ. ἤτοι δὲ ἡ ΘΚ τῆς
ΕΘ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ ἢ
τῷ ἀπὸ ἀσυμμέτρου. δυνάσθω πρότερον τῷ ἀ-
πὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ ἐστιν ἐλάσσων ἡ ΕΘ

BIBLIOTHECA BODLEIANA